οἵτινες καὶ μετὰ χρόνους τρεῖς ἐξῆλθον ἀπὸ τῆς φυλακῆς θαυμαστῶς, καὶ περάσαντες εἰς τὴν Ἀνατολήν, εἶτα ἐπανελθόντες μετὰ βοηθείας τοῦ εἰρημένου ἀμηρᾶ, εἰσῆλθον εἰς τὴν Πόλιν, ἰουλίῳ αʹ, τῷ ͵ςωπζʹ ἔτει. ὁ δὲ βασιλεὺς κῦρ Ἀνδρόνικος ἐπέρασεν εἰς τὸν Γαλατᾶν φυγάς.

---

17 2 Μουρατπ A **19** 8 Χαρησίου V 10 Γαλατου (?) V

1385/6893 (Ind. 8) Juni 28, Mittwoch

20 ἐκοιμήθη οὗτος ὁ βασιλεὺς κῦρ Ἀνδρόνικος ἐν ἔτει ,ϛωϟγ', ἰνδικτιῶνος η', μηνὶ ἰουνίῳ κη', ἡμέρᾳ δ', καὶ ἐτάφη εἰς τὴν μονὴν Χριστοῦ τοῦ Παντοκράτορος.

εἶτα ἀπελθὼν εἰς τὴν Σηλυβρίαν διῆγε μαχόμενος τῷ πατρὶ αὐτοῦ. ὃς καὶ ἐκστρατεύσας κατὰ τοῦ πατρὸς αὐτοῦ ἔν τινι χώρῳ τῶν παρὰ πόλιν Μελιτιάδα λεγομένην κειμένῳ μετὰ τοῦ πολιτικοῦ φοσσάτου· καὶ ἡττηθείς, στραφεὶς εἰς Σηλυβρίαν καὶ μετ' ὀλίγας ἡμέρας νοσήσας μικρὸν ἐτελεύτησεν. ὃν καὶ ἔθαψαν εἰς τὴν μονὴν τοῦ Παντοκτάτορος Χριστοῦ ἐν Κωνσταντινουπόλει, μηνὶ ἰουνίῳ ⟨κ⟩η', τοῦ ,ϛωϟγ' ἔτους.

1390/6898 (Ind. 13) Apr. 14, Donnerstag

21 ἐν ἔτει ,ϛωϟη', ἰνδικτιῶνος ιγ', ἡμέρᾳ ε' τῆς ἑβδομάδος τοῦ Ἁγίου Θωμᾶ εἰσήχθη εἰς τὴν Πόλιν ὁ βασιλεὺς κῦρ Ἰωάννης ὁ νέος ἀπὸ τῆς Χαρισίου πύλης, ὁ υἱὸς τοῦ κυροῦ Ἀνδρονίκου τοῦ βασιλέως, μηνὶ ἀπριλλίῳ ιδ', καὶ ἐκράτησε μῆνας ε', ἡμέρας γ'.

τῷ δὲ ,ϛωϟη' ἔτει ἐπανελθὼν ἀπὸ τῆς Γενούας διὰ ξηρᾶς ὁ βασιλεὺς κῦρ Ἰωάννης ὁ νέος, ὁ υἱὸς τοῦ εἰρημένου βασιλέως κυροῦ Ἀνδρονίκου, καὶ λαβὼν βοήθειαν καὶ φοσσάτον ἀπὸ τοῦ ἀμηρᾶ Παγιαζίτπεϊ, εἰσῆλθεν εἰς τὴν Κωνσταντινούπολιν, ἀπριλλίῳ ιδ'. ὁ δὲ βασιλεύς, ὁ πάππος αὐτοῦ, εἰσῆλθε μετὰ τοῦ βασιλέως τοῦ υἱοῦ αὐτοῦ κυροῦ Μανουὴλ εἰς τὸ καστέλλιον τῆς Χρυσείας, πολιορκούμενος ὑπὸ τοῦ ἐγγόνου αὐτοῦ καὶ τῶν Γαλατινῶν, τοῦ εἰρημένου βασιλέως κυροῦ Μανουὴλ εὐθὺς μετὰ κατέργου εὑρεθέντος ἑτοίμου ἐκπλεύσαντος ἕως τῆς Ῥόδου εἰς τοὺς Φρερίους.

20 4 χῶρα (?) A **21** 5 Χαρησίου V 7 Παγιαζιτπ A

1390 Aug.—Sept. 17, Samstag/6898—6899 (Ind. 13—14)

22 ἐν ἔτει ,ϛωϟθ', ἰνδικτιῶνος ιδ', μηνὶ σεπτεμβρίῳ ιζ', ἡμέρᾳ ζ', ἐξῆλθεν ὁ βασιλεὺς κῦρ Μανουὴλ ὁ Παλαιολόγος ἀπὸ τῆς Χρυσείας μετὰ πεζῶν καὶ ὀλίγων ἱππέων καὶ ἀπῆρε τὴν Κωνσταντινούπολιν διώξας τὸν ἀνεψιὸν αὐτοῦ.

τῷ δὲ αὐγούστῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἐπανελθόντος τοῦ βασιλέως κυροῦ Μανουὴλ μετὰ β' κατέργων Ῥοδίων καὶ Λημνίου καὶ Χριστοπολιτικοῦ καὶ τοῦ ἰδίου πολιτικοῦ καὶ ἑτέρων μικρῶν πλοίων καὶ ἐξελθόντων ἀπὸ τῆς Χρυσείας πεζῇ πάντων τῶν τοῦ στόλου πλὴν τῶν Φρερίων, ἐξέβη φυγὼν ἔξω τῆς Πόλεως ὁ βασιλεὺς κῦρ Ἰωάννης καὶ παρέλαβε πάλιν τὴν Πόλιν ὁ βασιλεὺς κῦρ Μανουήλ.

1391/6899 (Ind. 14) Febr. 15—16

23 ἐν ἔτει ,ϛωϟθ', ἰνδικτιῶνος ιδ', ἡμέρᾳ ε' τῆς β' ἑβδομάδος τῆς ἁγίας τεσσαρακοστῆς ἐκοιμήθη ὁ ἀοίδιμος βασιλεὺς κῦρ Ἰωάννης ὁ Παλαιολόγος καὶ ἐτάφη ἐν τῇ μονῇ τῶν Ὁδηγῶν, μηνὶ φεβρουαρίῳ ις'.

ὁ δὲ ἀοίδιμος καὶ μέγιστος βασιλεὺς κῦρ Ἰωάννης ὁ Παλαιολόγος ἐξελθὼν ἀπὸ τοῦ καστελλίου τῆς Χρυσείας, τοῦ ἀμηρᾶ προστάξαντος χαλασθῆναι τὸ καστέλλιον, μετὰ τὸ χαλασθῆναι τοῦτο, παραυτίκα σχεδὸν αὐτῇ τῇ ἡμέρᾳ ἐν ᾗ ἔπεσεν ὁ πύργος ἐν ᾧ ἦν ὁ βασιλεὺς πολιορκούμενος, ἐκοιμήθη καὶ αὐτός. ἥτις ἦν ις' φεβρουαρίου τοῦ ,ϛωϟθ' ἔτους. καὶ ἐτάφη ἐν τῇ μονῇ τῶν Ὁδηγῶν. ἐβασίλευε δὲ ὁ βασιλεὺς κῦρ Μανουὴλ ὁ υἱὸς αὐτοῦ.

1383/6811 (Ind. 6) Juni 15

24 ἐν ἔτει ,ϛωϟα', ἰνδικτιῶνος ϛ', μηνὶ ἰουνίῳ ιε', ἐκοιμήθη ὁ βασι-

22 7 πλειόνων A: πλοίων *scripsi* **23** 3 ἁγίας μῆς V

λεὺς κῦρ Ἰωάννης ὁ Καντακουζηνός, ὁ μετονομασθεὶς Ἰωάσαφ μοναχός, εἰς τὸν Μορέαν καὶ ἐτάφη ἐκεῖ. ἀπέθανε πρὸ ὀλίγων ἡμερῶν ἐκεῖ καὶ ὁ βασιλεὺς κῦρ Ματθαῖος.

III
(nur Hs A)

1395/6903 (Ind. 3) Juni (?)

25 κατὰ δὲ τὸ ͵ϛϡγʹ ἔτος, μηνὶ ἰουνίῳ, ἐκίνησε κατ' αὐτοῦ ὁ ἀσεβὴς τῶν Τούρκων, ὁ προρρηθεὶς Παγιαζίτης, μάχην βαρυτάτην. ἣν καὶ ἐκράτησεν ἰσχυρῶς ἐπὶ χρόνοις ἔγγιστα ηʹ ἕως ἐλθὼν ὁ Τεμίρπεης ἐξ Ἀνατολῶν, Περσῶν σατράπης μέγας, ἐτροπώσατο αὐτόν, λαβὼν αἰχμάλωτον καὶ πάντα τὸν ἐν τῇ Ἀνατολῇ τόπον τῆς ἀρχῆς αὐτοῦ λεηλατήσας καὶ ἐρημώσας, μηνὶ αὐγούστῳ, ἰνδικτιῶνος ιʹ, ἀποδημοῦντος ἐν τοῖς τῆς Δύσεως μέρεσι τοῦ εὐσεβοῦς βασιλέως κυροῦ Μανουήλ.

1399 Dez. 10—1403 Juni 9/6908—6911 (Ind. 8—11)

26 ἔφθασε γὰρ προαπελθεῖν διὰ μέσου τῆς μάχης κατὰ τὸ ͵ϛϡηʹ ἔτος, ζητῶν βοήθειαν καὶ συμμαχίαν παρὰ τῶν ἐκεῖσε ῥηγῶν Χριστιανῶν, καταστήσας πρῶτον εἰρήνην καὶ συμφωνίαν ἀγαθὴν μέσον αὐτοῦ καὶ τοῦ ἀνεψιοῦ αὐτοῦ, τοῦ βασιλέως κυροῦ Ἰωάννου, καὶ ἀφεὶς αὐτὸν βασιλεύειν ἐν Κωνσταντινουπόλει μέχρις ἐπανελεύσεως αὐτοῦ.

1403/6911 (Ind. 11) Juni 9

27 ἐπανῆλθε δὲ μετὰ τὴν κατάλυσιν τῆς ἀρχῆς ὡς εἴρηται τοῦ προειρημένου ἀμηρᾶ Παγιαζίτου, τῷ ͵ϛϡι⟨αʹ⟩ ἔτει, μηνὶ ἰουνίῳ, καὶ τῷ μὲν ἀνεψιῷ δέδωκε τὴν Θεσσαλονίκην βασιλεύειν ἐν αὐτῇ, αὐτὸς δὲ ἦν βασιλεύων ὡς πρότερον μέχρις ἂν ὁ τῶν οὐρανῶν βασιλεὺς προσελάβετο αὐτὸν εἰς τὴν βασιλείαν αὐτοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

---

25 1 μηνὶ ἰουνίῳ *add. ead. m. in marg.* 3 Τεμιρπ A 6 ληλατίσας A
26 1 διαμέσου A

1425/6933 (Ind. 3) Juli 21

28 μετέστη δὲ κοιμηθεὶς ὁ ἀοίδιμος οὗτος βασιλεὺς κῦρ Μανουὴλ ὁ Παλαιολόγος διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Ματθαῖος μοναχός, κατατεθέντος τοῦ ἁγίου λειψάνου αὐτοῦ ἐν τῷ πανσέπτῳ καὶ θείῳ ναῷ τῆς ἱερᾶς βασιλικῆς μονῆς τοῦ Παντοκράτορος Χριστοῦ, ἐν ἔτει ͵ϛϡλγʹ, μηνὶ ἰουλλίῳ κ⟨αʹ⟩, ἰνδικτιῶνος γʹ.

1435/6943 (Ind. 13) Juni

29 κατὰ τὸν ἰούνιον μῆνα τοῦ ͵ϛϡμγʹ ἔτους ἀπέστειλεν ὁ υἱὸς αὐτοῦ, ὁ δεσπότης τοῦ Μορέως, κῦρ Θεόδωρος, ἀξιόλογόν τι πρᾶγμα χρυσοκλαδαρικόν, τὰς στήλας τοῦ τε βασιλέως τοῦ πατρὸς αὐτοῦ καὶ τῆς δεσποίνης τῆς μητρὸς αὐτοῦ, ἃς καὶ ἔστησαν πλησίον τοῦ τάφου τοῦ βασιλέως. λέγεται ὅτι ἐξοδιάσθησαν εἰς κατασκευὴν αὐτῶν νομίσματα δʹ.

---

29 *add. postea ead. m.*

CHRONIK 8

Handschriften

***Athos*, Iviron, 210, ff. 223v—230. Die von *einem* Kopisten geschriebene Handschrift enthält fast ausschließlich theologische Traktate. Es finden sich darunter keine Texte, die mit der Moskauer Handschrift (s. u.) gemeinsam sind. F. 178 beginnt eine dem *chronographikon syntomon* des Nikephoros Patriarches ähnliche, aber nicht identische Chronik von Adam bis zur Eroberung Konstantinopels durch die Lateiner[24], die von 1204 ab (f. 223v) mit der Chronik in der Moskauer Handschrift *alle* wesentlichen Punkte gemeinsam hat[25]. Auf ff. 230v—231 ist (auf ursprünglich leeren Blättern) von anderer Hand (16. Jh.) eine Chronik türkischer Eroberungen (Chronik 58) eingetragen[26]. Dem Schriftcharakter nach ist die Handschrift in das späte 15. Jh. zu datieren.

Moskau, Hist. Museum, 439 (Vlad.) = 426 (Savva), ff. 174—177v. Der Codex, der die Hände mehrerer Schreiber zeigt, enthält eine Vielzahl kleinerer liturgischer und theologischer Traktate. Daneben finden sich auch (von derselben Hand kopiert) einige historische Texte, die sich um die Kleinchronik gruppieren. Mit f. 170 beginnt das *chronographikon syntomon* des Nikephoros Patriarches; es ist fortgesetzt bis zum Tode Kaiser Manuels II., 1425 (f. 173v). Auf f. 174 setzt Chron. 8 ein, f. 179v schließt eine Liste römischer Kaiser sowie der Patriarchen an. Die ff. 140 bis 224 sind von derselben Hand geschrieben. Der Schriftcharakter erlaubt es, die Kopie in die erste Hälfte des 15. Jhs. zu verlegen[27]. Von anderer Hand stammen zwei Chroniken auf den letzten Folien (ff. 224v. 225), die unten als Chr. 53 und 73 ediert werden. Ein Vermerk auf f. 3 nennt als Herkunftsort der Handschrift das Kloster Iviron[28].

[24] *inc.* Πλάττεται παρὰ θεοῦ πρῶτος ἄνθρωπος εἰς τὴν γῆν. Dieser Anfang findet sich weder in gedruckten noch ungedruckten Incipitarien.

[25] Es war mir leider nur eine rasche Durchsicht der Handschrift möglich, da weder das Kollationieren noch das Photographieren erlaubt war.

[26] Da aus den in der vorausgehenden Anmerkung genannten Gründen eine Abschrift nicht möglich war, konnte die Chronik nicht berücksichtigt werden; siehe auch unten Chr. 58, Handschriften.

Überlieferung

Die Chronik läßt zwei Bestandteile erkennen: Abschnitt I stellt einen mit Daten versehenen Kaiserkatalog dar, der sich (mit Ausnahme der Not. 12 und 14) ausschließlich auf Geschehnisse im Kaiserhaus beschränkt; Abschnitt II verkörpert eine Reichschronik. Sie geht im Zeitraum 1340—1352 über den bloßen Notizencharakter hinaus und bringt bis zu einem gewissen Grad nicht nur Schilderung, sondern auch Bewertung und Stellungnahme.

Trotz der zeitlichen Parallele in den Ereignissen zwischen dieser Chronik und den Chr. 7 und 9 ist eine gegenseitige Beeinflussung oder eine Verwandtschaft der zugrunde liegenden Quellen ausgeschlossen. In den Notizen 40. 42. 43. 45 zeigt sich in der historischen Bewertung Übereinstimmung mit der Darstellung bei Nikephoros Gregoras. Es weist allerdings nichts darauf hin, daß das Geschichtswerk des Gregoras selbst in irgendeiner Weise die Kleinchronik beeinflußt hat. Die Ähnlichkeiten sind vielmehr dadurch zu erklären, daß der Autor aus einer konstantinopolitanischen und wohl dem Kantakuzenos feindlichen Quelle schöpfte.

Chronologie

Die Chronik bricht in beiden Handschriften 1352 abrupt ab. Mit diesem Jahr endet die gemeinsame Vorlage, kaum aber die dieser

[27] Gorjanov (s. u. Ausgaben) datiert die Handschrift, irregeführt durch zwei Chroniken auf den letzten Folien, in das 16. Jh. Die von Giannelli (*OCP* 29 [1963] 331) vorgeschlagene Datierung (14. Jh.) entfällt, da die Liste noch den Tod Manuels II. erwähnt. Es steht aber nichts entgegen, die Entstehung der Handschrift in den Jahren unmittelbar nach 1425 anzusetzen; es fehlen Wasserzeichen.

[28] Arsenij Suchanov, der von 1653 bis 1655 zur Beschaffung von Handschriften auf dem Hl. Berg weilte, brachte den Codex nach Moskau; siehe auch S. Belokurov, Arsenij Suchanov. Moskau 1891, 340—342, und M. Laskaris, Arsène Suchanov et les manuscrits de l'Athos. *Byz* 28 (1958) 543—545.

zugrunde liegende Quelle, die sicherlich bis zu einem für die byzantinische Geschichte wesentlicheren Ereignis als der Seeschlacht am Diplokionion (Not. 56) fortgesetzt war. Auf Grund des inhaltlichen Befundes der chronographischen Texte ist *terminus post quem* für die Kopie das Jahr 1425 (Tod Manuels II.).

Ausgaben

B. T. Gorjanov, Neizdannyj anonimnyj vizantijskij chronograf XIV v. *VV* 2 (1949) 276—293. — Chronique brève de 1352, I—IV. In unserer Edition wurde die Notizeneinteilung der letztgenannten Ausgabe beibehalten.

Übersetzungen

Russisch bei Gorjanov (s. o.); französisch in Chronique brève de 1352 (s. o.). — Band 3 der vorliegenden Ausgabe.

Χρονικὸν νέον ἐν συντόμῳ

I

1204/6712 (Ind. 7) Aug.—1221/6730 (Ind. 10) Nov. ca.

1 ὁ δεσπότης κῦρ Θεόδωρος ὁ Λάσκαρις, ὁ γαμβρὸς τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Βαμβακοράβδου, πρὸ τοῦ παραλαβεῖν τοὺς Λατίνους τὴν Κωνσταντινούπολιν ἀπῆγεν εἰς τὴν Νίκαιαν· καὶ διαβιβάσας χρόνους δύο ἀνηγορεύθη βασιλεὺς ὑπὸ τῶν συνδραμόντων ὄχλων καὶ ἀρχόντων. καὶ βασιλεύσας χρόνους ιη' ἐκοιμήθη τῷ ,ϛψκθ' ἔτει, καὶ ἐτάφη ἐν τῇ μονῇ τοῦ Ὑακίνθου, ἔνθα καὶ ὁ πενθερὸς αὐτοῦ τέθαπται καὶ ἡ τούτου σύζυγος.

1221/6730 (Ind. 10) Nov.—1254/6763 (Ind. 13) Nov. 3

2 ἐβασίλευσε δὲ ὁ γαμβρὸς αὐτοῦ κῦρ Ἰωάννης ὁ Βατάτζης τῷ ,ϛψλγ' ἔτει· καὶ ζήσας ἔτη ⟨ξβ' καὶ βασιλεύσας⟩ λγ' ἐκοιμήθη καὶ ἐτάφη ἐν τῇ μονῇ τῶν Σωσάνδρων.

---

1 2 βαμπαγκοραβδου *cod.* **2** 2 ξβ' καὶ βασιλεύσας *suppl.* Loenertz e Georg. Acrop. 103, 16—18 (Heisenberg)

1254/6763 (Ind. 13) Nov. 3—1258/6766 (Ind. 1) Aug. 16

3 εἶτα ἐγένετο βασιλεὺς ὁ υἱὸς αὐτοῦ κῦρ Θεόδωρος Δούκας ὁ Λάσκαρις· καὶ ἐβασίλευσεν ἔτη γ'· καὶ θανὼν τῷ ,ϛψξϛ' ἔτει ἐτάφη μετὰ τοῦ πατρὸς αὐτοῦ.

1258/6766 (Ind. 1) Aug. 16—1261/6770 (Ind. 5) Dez. 25

4 μηνὶ αὐγούστῳ, ἰνδικτιῶνος α', τοῦ αὐτοῦ ἔτους, ἀνηγορεύθη βασιλεὺς ὁ υἱὸς αὐτοῦ κῦρ Ἰωάννης Δούκας ὁ Λάσκαρις, ὢν ἐτῶν οὔπω η'.

1258/6767 (Ind. 2) Nov. 13, Mittwoch

5 μηνὶ νοεμβρίῳ ιγ', ἰνδικτιῶνος β', ἡμέρᾳ παρασκευῇ, ἀνηγορεύθη δεσπότης κῦρ Μιχαὴλ ὁ Παλαιολόγος παρὰ τοῦ βασιλέως κυροῦ Ἰωάννου Δούκα τοῦ Λάσκαρι.

1259/6767 (Ind. 2) Jan. 1, Mittwoch

6 τῷ δὲ ,ϛψξζ' ἔτει, ἰαννουαρίῳ α', ἡμέρᾳ παρασκευῇ, ἀνηγορεύθη καὶ βασιλεὺς μετ' αὐτοῦ ἐν τῷ παλατίῳ τοῦ Νυμφαίου. εἶτα ἀφίκετο εἰς τὴν Νίκαιαν, ἔνθα καὶ ἐστέφθη ὑπὸ τοῦ πατριάρχου κυροῦ Ἀρσενίου.

1261/6769 (Ind. 4) Juli 25

7a ἰουλίῳ δὲ κε', ἡμέρᾳ τετράδι, τοῦ ,ϛψξθ' ἔτους, ἰνδικτιῶνος δ', παρέλαβε τὴν Κωνσταντινούπολιν.

1272/6781 (Ind. 1) Nov. 8

7b καὶ ἐλθὼν ἐν ταύτῃ ἔστεψε καὶ τὸν υἱὸν αὐτοῦ, κῦρ Ἀνδρόνικον τὸν Παλαιολόγον, βασιλέα, ὃς ἔσχε καὶ δέσποιναν Οὔγκρισαν.

1282/6791 (Ind. 11) Dez. 11

8 ἐν δὲ τῷ ,ϛψϟα' ἔτει ἐκοιμήθη ὁ βασιλεὺς κῦρ Μιχαὴλ ὁ Παλαιολόγος ἐν τῇ Μακεδονίᾳ ἐν χωρίῳ τοῦ Παχωμίου καὶ ἐτάφη εἰς τὴν Σηλυμβρίαν, ἐν τῇ μονῇ τοῦ Χριστοῦ.

---

3 2 τῷ ,ϛψξϛ' *in cod. post* ὁ Λάσκαρις **8** 3 Συλημβρίαν *cod.*

1289/6797 (Ind. 2) Apr. 17, Sonntag (?)

9 ἀπριλλίῳ ιζ′, ἡμέρᾳ κυριακῇ, Ἀνδρόνικος ὁ υἱὸς αὐτοῦ ⟨ἔτους ,ϛψϟζ′⟩ ***

1294/6802 (Ind. 7) Mai 21

10 ἔτους ,ϛωβ′ ἐστέφθην ὁ βασιλεὺς κῦρ Μιχαήλ, ὁ υἱὸς τοῦ κυροῦ Ἀνδρονίκου, ἐν τῷ ναῷ τῆς Ἁγίας Σοφίας παρὰ τοῦ πατριάρχου κυροῦ Ἰωάννου τοῦ Σωζοπολίτου. οὗτος ἔσχε δέσποιναν τὴν κυρὰν Μαρίαν.

1296/6804 (Ind. 9) März 25

11a μηνὶ μαρτίῳ κε′, ἰνδικτιῶνος ι′, τοῦ ,ϛωε′ ἔτους ἐγεννήθη ὁ περιπόθητος υἱὸς τοῦ εὐσεβεστάτου βασιλέως κυροῦ Μιχαὴλ τοῦ Παλαιολόγου, ὁ κληθεὶς κῦρ Ἀνδρόνικος Κομνηνὸς ὁ Παλαιολόγος.

1317/6826 (Ind. 1) Okt. 23

11b τῷ δὲ ,ϛωκϛ′ ἔτει, ἰνδικτιῶνος α′, ὀκτωβρίῳ κγ′, ηὐλογήθη μετὰ τῆς δεσποίνης κυρᾶς Εἰρήνης τῆς ἀπὸ Ἀλαμανίας, παρὰ τοῦ πατριάρχου, κυροῦ Ἰωάννου τοῦ Γλυκέως.

1320/6829 (Ind. 4) Okt. 12

11c ὀκτωβρίῳ δὲ μηνί, ἰνδικτῶνος δ′, τοῦ ,ϛωκθ′ ἔτους, ἐκοιμήθη ὁ πατὴρ αὐτοῦ ἐν τῇ Θεσσαλονίκῃ καὶ κατετέθη ἐκεῖσε.

1320/6828 (Ind. 3) März 22—23

12a μαρτίῳ δὲ κα′, ἰνδικτιῶνος γ′, προεβλήθη πατριάρχης ὁ ἱερομόναχος κῦρ Γεράσιμος, ὁ ἡγούμενος τῶν Μαγκάνων. καὶ τῇ ἐπαύριον, κυριακῇ τῶν Βαΐων, ἐχειροτονήθη παρὰ τοῦ Σάρδεων.

---

9 Ἀνδρόνικος ὁ υἱὸς αὐτοῦ *add. ead. m. in marg. annum mundi coni.* LOENERTZ **11c** 1 τοῦ ,ϛωκθ′ ἔτους *add. ead. m. in marg.*

1321/6829 (Ind. 4) Apr. 19—20

12b καὶ τῇ κ′ τοῦ ἐρχομένου ἀπριλλίου, τῆς ἰνδικτιῶνος δ′, ἐκοιμήθη καὶ ἐτάφη ἐν τῇ μονῇ τῶν Μαγκάνων.

1321/6829 (Ind. 4) Apr. 19—20

13a τῷ ,ϛωκθ′ ἔτει, κυριακῇ τοῦ Πάσχα, ἔφυγεν ὁ νέος βασιλεὺς κῦρ Ἀνδρόνικος ὁ Παλαιολόγος ἔξω.

1322/6830 (Ind. 5) Juli 17 (oder 18)

13b καὶ τῇ ιη′ τοῦ ἰουλίου, τῆς ἰνδικτιῶνος ε′, τοῦ ,ϛωλ′ ἔτους, ἐγένετο ἕνωσις καὶ ἀγάπη μετὰ τοῦ βασιλέως τοῦ πάππου αὐτοῦ ἐν τῇ πύλῃ τοῦ Ἁγίου Ῥωμανοῦ ἔξωθεν τοῦ κάστρου.

1323/6832 (Ind. 7) Nov. 11—30

14 νοεμβρίῳ ια′, ἰνδικτιῶνος ζ′, προεβλήθη πατριάρχης ὁ μοναχὸς Ἡσαίας, ἡσυχαστὴς ὢν ἐν τῷ Ἄθωνι. καὶ τῇ λ′ ἐχειροτονήθη παρὰ τοῦ μητροπολίτου Κυζίκου.

1325/6833 (Ind. 8) Febr. 2

15 μηνὶ φεβρουαρίῳ β′, ἰνδικτιῶνος θ′, τοῦ ,ϛωλδ′ ἔτους, ἐστέφθην ὁ βασιλεὺς κῦρ Ἀνδρόνικος ὁ Παλαιολόγος ἐν τῇ Ἁγίᾳ Σοφίᾳ, ὁ ἔγγονος τοῦ μεγάλου βασιλέως, παρὰ τοῦ πατριάρχου κυροῦ Ἡσαίου.

II

1326/6834 (Ind. 9) Apr. 6

16 ἀπριλλίῳ γ′, ἰνδικτιῶνος θ′, τοῦ ,ϛωλδ′ ἔτους, παρέλαβον οἱ Μουσουλμάνοι τὴν Προῦσαν.

13b 2 πάπου *cod.* **15** 3 ἔγκονος *cod.*

1327/6835 (Ind. 10) Mai 12—13, Dienstag—Mittwoch

17 μαΐῳ ιβ', ἰνδικτιῶνος ι', ἡμέρᾳ γ', ὥρᾳ γ' τῆς νυκτός, ἐγένετο σεισμὸς μέγας. καὶ τῇ ἐπαύριον παρέλαβον οἱ Μουσουλμάνοι τὸ Λοπάδιον.

1327/6835 (Ind. 10) Mai 13

18 κατὰ τὴν ιγ' τοῦ αὐτοῦ μηνὸς ἐποίησεν ὁ βασιλεὺς κῦρ Ἀνδρόνικος, ὁ ἔγγονος τοῦ μεγάλου βασιλέως, ἕνωσιν μετὰ τοῦ βασιλέως Βουλγάρων τοῦ Μιχαὴλ καὶ γαμβροῦ αὐτοῦ καὶ ἀπεσκίρτησε πάλιν ἀπὸ τὸν πάππον αὐτοῦ.

1328/6836 (Ind. 11) Mai 24

19 κατὰ δὲ τὴν κδ' τοῦ μαΐου μηνός, ἰνδικτιῶνος ια', παρέλαβεν ὁ βασιλεὺς κῦρ Ἀνδρόνικος ὁ Παλαιολόγος ὁ νέος τὴν Κωνσταντινούπολιν ἀπὸ προδοσίας· κάτωθεν γὰρ τῆς πόρτας τοῦ Ἁγίου Ῥωμανοῦ ἔθηκαν διαβολόσκαλαν, καὶ ἀνέβησαν ἀπ' ἐκεῖσε καὶ ἤνοιξαν τὴν πόρταν, καὶ εἰσῆλθεν τὸ φοσσάτον καὶ ὁ βασιλεύς.

1328/6836 (Ind. 11) Juni 23

20 κατὰ δὲ τὴν κγ' τοῦ ἰουνίου ἐξῆλθεν ἀπὸ τῆς Πόλεως καὶ ἀπῆλθεν εἰς τὴν Βιζύην κατὰ τοῦ Μιχαήλ.

1329/6837 (Ind. 12) Mai 28—Juli 8

21 μαΐῳ κη', ἰνδικτιῶνος ιβ', τοῦ ,ϛωλζ' ἔτους, ἦλθεν ὁ βασιλεὺς ἀπὸ τὸ Δυμότειχον εἰς τὴν Πόλιν. καὶ τῇ α' τοῦ ἰουνίου ἐπέρασεν εἰς τὴν Μεσοθηνίαν κατὰ τοῦ Ὄρκανι. καὶ τῇ ι' τοῦ αὐτοῦ ἐκρότησε πόλεμον μετὰ τῶν Μουσουλμάνων εἰς τὸν Πελεκάνον λεγόμενον. καὶ ἔπεσον ἐκ τῶν ἀρχόντων τινές. ἐδοξεύθη καὶ ὁ βασιλεὺς εἰς τὸν πόδα εἰς τὴν κλείδωσιν τοῦ γόνατος. οὐδὲν δὲ ἐβλάβη ἀπὸ τούτου. ἐπέρασε δὲ τῇ ια' εἰς τὴν Πόλιν, καὶ οὕτως κατελύθη τὸ φοσσάτον ὅλον. καὶ τῇ η' τοῦ ἰουλίου ἐξῆλθε καὶ ἀπῆγε εἰς τὸ Δυμότειχον.

---

17 1 ἰνδ. ι' *nescio cur del.* **18** 2 ἔγκονος *cod.* Βουγάρων *cod.* **19** 5 φωσάτον *cod.* **20** 2 Βυζήην *cod.* **21** 7 φωσάτον *cod.*

1330/6838 (Ind. 13) Jan. 30

22 ἰαννουαρίῳ λ', ἰνδικτιῶνος ιγ', τοῦ ,ϛωλη' ἔτους [ὥρᾳ ϛ' τῆς νυκτὸς] ἀπεκάρη ὁ μέγας βασιλεὺς κῦρ Ἀνδρόνικος ⟨ὁ⟩ Παλαιολόγος, ὁ γέρων, μετονομασθεὶς Ἀντώνιος.

1330/6838 (Ind. 13) Juli 1, Sonntag

23a ἰουλίῳ α', ἰνδικτιῶνος ιγ', ἡμέρᾳ κυριακῇ, ὥρᾳ η' τῆς νυκτός, ἐγένετο ἔκλειψις τῆς σελήνης.

1330/6838 (Ind. 13) Juli 16

23b καὶ τῇ ιϛ' τοῦ αὐτοῦ, ὥρᾳ ια' τῆς ἡμέρας, ἐγένετο τοῦ ἡλίου ἔκλειψις.

1331/6839 (Ind. 14) März 2

24 μαρτίῳ α', ἰνδικτιῶνος ιδ', τοῦ ,ϛωλθ' ἔτους, παρέλαβον τὴν Νίκαιαν οἱ Μουσουλμάνοι, ἄρχοντος ὄντος τοῦ Ὄρκανι.

1332/6840 (Ind. 15) Jan. 17

25 ἰαννουαρίῳ ιζ', ἰνδικτιῶνος ιε', ὥρᾳ γ' τῆς νυκτός, ἐγένετο σεισμὸς μέγας.

1332/6840 (Ind. 15) Febr. 12

26a φεβρουαρίῳ ιγ', ἰνδικτιῶνος ιε', ἐκοιμήθη ὁ βασιλεὺς μοναχὸς κῦρ Ἀντώνιος, καὶ ἐτάφη ἐν τῇ μονῇ τοῦ Λίψη.

1332/6840 (Ind. 15) März 13

26b καὶ τῇ ιγ' τοῦ μαρτίου, τοῦ αὐτοῦ ἔτους, ἐκοιμήθη καὶ ὁ μέγας λογοθέτης ὁ Μετοχίτης καὶ ἐτάφη ἐν τῇ μονῇ αὐτοῦ τῇ Χώρᾳ.

1332/6840 (Ind. 15) Mai 13

26c καὶ τῇ ιγ' τοῦ μαΐου τοῦ αὐτοῦ ἔτους ἐκοιμήθη καὶ ὁ πατριάρχης κῦρ Ἡσαΐας καὶ ἐτάφη ἐν τῇ μονῇ τῆς Ζωοδόχου, τῇ τοῦ κυροῦ Μαξίμου.

---

22 2 ὁ² *suppl.* Loenertz

1333/6841 (Ind. 1) Aug.

27 αὐγούστῳ ⟨. .⟩, ἰνδικτιῶνος α′, ἀπῆλθεν ὁ βασιλεὺς μετὰ κατέργων εἰς τὴν Νικομήδειαν καὶ ἐγένετο ἀγάπη μετὰ τοῦ Ὄρκανι. καὶ ἔταξεν ὁ βασιλεὺς τελεῖσθαι αὐτὸν κατ' ἔτος ὑπέρπυρα χιλιάδας ιβ′, ἕνεκεν τῶν κάστρων τῆς Μεσοθηνίας, ἀπὸ τὴν Νικομήδειαν μέχρι τῆς Πόλεως.

1334/6842 (Ind. 2) Febr.

28 φεβρουαρίῳ ⟨. .⟩, ἰνδικτιῶνος β′, ⟨τοῦ⟩ ,ςωμβ′ ἔτους, προεβλήθη πατριάρχης ὁ ἀπὸ τῆς Ἄπρου ἱερεύς, λεγόμενος Ἰωάννης, κοσμικός, ὅστις ἦν καὶ εἰς τὸν τοῦ βασιλέως κλῆρον.

1335/6843 (Ind. 3) Mai

29 μηνὶ μαΐῳ, ἰνδικτιῶνος γ′, τοῦ ,ςωμγ′ ἔτους, ἀπῆγεν ὁ βασιλεὺς κῦρ Ἀνδρόνικος ὁ Παλαιολόγος μετὰ στόλου πολλοῦ καὶ παρέλαβεν τὴν Χῖον καὶ τὴν Φώκαιαν καὶ ἐποίησε καὶ μετὰ τοῦ Σαρχάνι ἀγάπην.

1338/6846 (Ind. 6) März

30 μαρτίῳ ⟨. .⟩, ἰνδικτιῶνος ς′, τοῦ ,ςωμς′ ἔτους, ἀπῆγεν ὁ βασιλεὺς μετὰ φοσσάτου μεγάλου εἰς τὴν Δύσιν καὶ παρέλαβε τὴν Ἄρταν καὶ ἄλλα κάστρη. ἀπῆρε δὲ ἐκεῖσε καὶ τὴν γυναῖκα τοῦ κόντου καὶ τὸν υἱὸν τοῦ κόντου, καὶ ἔφερε τούτους εἰς τὴν Θεσσαλονίκην. καὶ ἔδωκε τὸν υἱὸν αὐτοῦ γαμβρὸν τὸν μέγα δομέστικον τὸν Κατακουζηνόν, καὶ ἐποίησεν αὐτὸν πανυπερσέβαστον.

1341/6849 (Ind. 9) Juni 10

31 μηνὶ ἰουνίῳ ι′, τοῦ ,ςωμθ′ ἔτους, ἐποίησαν σύνοδον ἐν τῇ Ἁγίᾳ Σοφίᾳ κατὰ τοῦ Βαρλαάμ, παρόντος καὶ τοῦ βασιλέως καὶ τῆς συγκλήτου καὶ ⟨τοῦ λαοῦ⟩ τῆς Πόλεως.

---

28 1 τοῦ *suppl.* LOENERTZ ,ςωμβ′ *add. ead. m. in marg.* **30** 2 φωσάτου *cod.*

1341/6849 (Ind. 9) Juni 14—15

32 εἶτα ἀπῆγεν ὁ βασιλεὺς εἰς τὴν Ὁδηγήτριαν καὶ ἔπεσεν εἰς ἀσθένειαν μεγάλην, καὶ τῇ ιδ′ τοῦ αὐτοῦ μηνός, ἰνδικτιῶνος θ′, ἐκοιμήθη ὁ βασιλεὺς κῦρ Ἀνδρόνικος ὁ Παλαιολόγος. καὶ τῇ ιε′ ἐτάφη ἐν τῇ αὐτῇ μονῇ, καταλιπὼν βασιλέα τὸν υἱὸν αὐτοῦ κῦρ Ἰωάννην, ὄντα ἐτῶν θ′, ὄντα μετὰ τῆς μητρὸς αὐτοῦ τῆς δεσποίνης κυρᾶς Ἄννης καὶ τῶν ἑτέρων παιδίων αὐτῶν. τὸν δὲ μέγαν δομέστικον τὸν Καντακουζηνὸν ἐποίησεν ἐγκρατῆν πάντων τῶν πραγμάτων.

1341/6849 (Ind. 9) Juli

33 ἰουλίῳ ⟨. .⟩, ἰνδικτιῶνος θ′, ἐξῆλθεν ὁ μέγας δομέστικος ὁ Καντακουζηνὸς ἐκ τῆς Πόλεως καὶ ἀπῆγεν εἰς τὴν Μακεδονίαν, εἴς τε τὸ Διδυμότειχον καὶ τὰ ἄλλα κάστρη καὶ ἐστήριξεν αὐτά.

1341 Aug. 28—Sept. /6849—6850 (Ind. 9—10)

34 εἶτα, τῇ κη′ τοῦ αὐγούστου, τοῦ αὐτοῦ ἔτους, ἔφυγεν ὁ Ἀπόκαυχος ἐκ τῆς Πόλεως, ὁ παρακοιμώμενος, καὶ ἀπῆγεν εἰς τὸν πύργον αὐτοῦ, τοὺς Ἐπιβάτας. ἔπειτα ἐμήνυσεν ἡ δέσποινα κυρὰ Ἄννα τὸν μέγαν δομέστικον τὸν Καντακουζηνόν, ὄντα ἔξω εἰς τὸ Διδυμότειχον, καὶ ἦλθεν εἰς τὴν Πόλιν τὸν σεπτέβριον, ἰνδικτιῶνος ι′.

1341/6850 (Ind. 10) Sept. 28—Okt. 26

35 ὀκτωβρίῳ ⟨. .⟩, ἰνδικτιῶνος ι′, ⟨τοῦ⟩ ,ςων′ ⟨ἔτους⟩, ἐξῆλθεν ὁ μέγας δομέστικος ὅπως ὑπάγῃ εἰς τὸ Διδυμότειχον. καὶ διερχόμενος τοὺς Ἐπιβάτας ἐποίησε τὸν Ἀπόκαυχον ὁρκωμοτικόν, καὶ ἐξῆλθε τοῦ πύργου αὐτοῦ. εἶτα ἐπέτρεψεν αὐτὸν ὅπως ἔλθῃ εἰς τὴν Πόλιν. ἐλθὼν δὲ διέστρεψε τὴν δέσποινα κατὰ τοῦ μεγάλου δομεστίκου. οἰκονόμησε δὲ ἵνα πιάσωσι καὶ τοὺς ἄρχοντας. καὶ γνόντες τοῦτο ἐκεῖνοι ἐτζάκισαν τὴν πόρταν τοῦ Πορφυρογεννήτου καὶ ἔφυγον καὶ ἀπῆγαν εἰς τὸ Διδυμότειχον. κινήσας δὲ ὁ Ἀπόκαυχος τὸν λαόν, ἀπῆραν τὰ

---

33 3 Διδυμότειχον *hic et infra not.* **35. 37. 38. 42. 43. 45. 51a** **35** 1 ,ςων′ *add. ead. m. in marg.* 4 ἀπέτρεψεν *cod.*: ἐπ- *scripsi*

πράγματα καὶ ἐχάλασαν καὶ τὰ ὀσπίτια αὐτῶν. τοῦτο γνόντες ἐκεῖνοι μετὰ τοῦ φοσσάτου ἔβαλαν τὸν μέγαν δομέστικον τὸν Καντακουζηνὸν τὰ κόκκινα καὶ εὐφήμησαν αὐτὸν βασιλέα τῇ κς' τοῦ ὀκτωβρίου τῆς αὐτῆς ἰνδικτιῶνος. εἶτα ὑπῆρχε ταραχὴ οὐκ ὀλίγη μέσον αὐτῶν καὶ τοῦ κόσμου.

1341/6850 (Ind. 10) Nov. 19

36 νοεμβρίῳ κ', ἰνδικτιῶνος ι', ἐστέφθην ὁ βασιλεὺς κῦρ Ἰωάννης ὁ Παλαιολόγος ἐν τῇ Ἁγίᾳ Σοφίᾳ ὑπὸ τοῦ πατριάρχου κυροῦ Ἰωάννου, ὢν ἐτῶν ι'. ἐποίησε δὲ καὶ τὸν Ἀπόκαυχον μέγαν δοῦκαν, τὸν δὲ μέγαν δοῦκαν τὸν Ἀσάνην πανυπερσέβαστον. καὶ ἐγκρατὴς ἐγένετο πάντων τῶν πραγμάτων ὁ μέγας δοῦκας. ἐποίησε δὲ καὶ ὁ πατριάρχης ἀφορισμὸν κατὰ τοῦ ὁμολογήσαντος τὸν Καντακουζηνὸν βασιλέα.

1342/6850 (Ind. 10) März—Juli

37 μαρτίῳ ⟨. .⟩, ἰνδικτιῶνος τῆς αὐτῆς, ἐποίησεν ὁ μέγας δοῦκας ὁ Ἀπόκαυχος στόλον μέγα καὶ ἀπῆγεν εἰς τὴν Θεσσαλονίκην εἰς τὸν πρωτοστράτορα τὸν Συναδηνόν, ποιήσαντες σκαιωρίαν κατὰ τοῦ Καντακουζηνοῦ ὅπως πιάσωσιν αὐτόν. ὁ δὲ ἐξελθὼν τοῦ Διδυμοτείχου τῷ αὐτῷ μηνὶ μετὰ φοσσάτου ἀπῆγεν εἰς τὴν Θεσσαλονίκην πρὸς τὸν πρωτοστράτορα. εἰς δὲ τὸ Γυναικόκαστρον γνοὺς τὴν κατ' αὐτοῦ ἐπιβουλὴν ἀπέδρα πρὸς τὸν κράλην.

1342 Juni—Sept. ca./6850—6851 (Ind. 10—11)

38 ὁ δὲ πρωτοστράτωρ ἐπίασέ τινας ἐκ τῶν ἀρχόντων καὶ ἀπῆγεν εἰς τὴν Θεσσαλονίκην πρὸς τὸν μέγαν δοῦκαν. κατέβη δὲ καὶ ὁ μέγας δομέστικος ὁ Χρέλης ἐκεῖσε. καὶ ἐξελθόντες ἀπῆραν τὰ κάστρη τῆς Μακεδονίας ὅλα πάρεξ τοῦ Διδυμοτείχου, ὅτι αὐτὸ ἐφύλασσεν ἡ σύνευνος τοῦ Καντακουζηνοῦ μετὰ τοῦ Ἀσάνη τοῦ ἀδελφοῦ αὐτῆς. εἶτα ἀπέστρεψεν ὁ μέγας δοὺξ μετὰ νίκης μεγάλης εἰς τὴν Πόλιν.

---

10 φωσάτου *cod.* δομεστίκαν (!) *cod.* 11 κόκινα *cod.* ἐφήμησαν *cod.*
36 1 δστέφθην *cod.* **37** 5 φωσάτου *cod.*

1343/6852 (Ind. 12) Okt. 18

39 ὀκτωβρίῳ ιη', ἰνδικτιῶνος ια', τοῦ ,ςωνα' ἔτους, ζάλης οὔσης πολλῆς καὶ ἀφορισμῶν πολλῶν τεθέντων παρὰ τοῦ πατριάρχου κυροῦ Ἰωάννου, ἐγένετο σεισμὸς μέγας τὸ πρωΐ. καὶ ἀργὰ ἕτερος οἷος οὐκ ἐγένετο πώποτε. ἔσειε δὲ καιρὸν πολὺν καὶ ἔπεσον καὶ τείχη τῆς Πόλεως καὶ οἰκίαι πολλαί.

1343/6851 (Ind. 11) Apr.

40 τῷ ἀπριλλίῳ δὲ ἔφυγεν ὁ Καντακουζηνὸς ἀπὸ τὸν κράλην καὶ εἰσῆλθεν εἰς τὴν Βέρροιαν.

1343 Aug. ca.—1344 Febr./6851—6852 (Ind. 11—12)

41 εἶτα περάσας ὁ Ἀμούρις ἀπῆγεν ἐκεῖσε καὶ ἀπῆρέν τον καὶ ἔφερέν τον εἰς τὸ Διδυμότειχον. ἔφθειραν δὲ τὴν Μακεδονίαν ὅλην, οἷα φθορὰ οὐκ ἐγένετο πώποτε.

1344/6852 (Ind. 12) Mai—Juli

42 μαίῳ ⟨. .⟩, ἰνδικτιῶνος ιβ', τοῦ ,ςωνβ' ἔτους, ᾠκονόμησεν ὁ μέγας δοὺξ φοσσάτον μέγα. ἀπῆρε δὲ καὶ τὸν βασιλέα κῦρ Ἰωάννην τὸν Παλαιολόγον, καὶ τὸν πατριάρχην κῦρ Ἰωάννην, καὶ ἐξῆλθε τῆς Πόλεως. καὶ τὸν μὲν βασιλέα καὶ τὸν πατριάρχην ἀφῆκεν εἰς τὴν Ἡράκλειαν. αὐτὸς δὲ συνάξας τὰ φοσσάτα ἀπῆγεν εἰς τὸ Διδυμότειχον κατὰ τοῦ Καντακουζηνοῦ καὶ ἀπέκλεισεν αὐτόν. ἔκαυσε δὲ καὶ τὰ δεμάτια τοῦ θέρους ὅλα, καὶ ἐστενοχώρησεν αὐτὸν πολλά. τὸν ἰούλιον δὲ μῆνα ἐπνίγη ὁ γαμβρὸς τοῦ μεγάλου δουκὸς ὁ πρωτοστράτωρ εἰς τὸν ποταμὸν τοῦ Διδυμοτείχου κολυμβῶν.

1344/6852 (Ind. 12) Aug.

43 τὸν δὲ αὔγουστον ἐμήνυσεν ἡ δέσποινα τὸν πατριάρχην κῦρ Ἰωάννην εἰς τὴν Ἡράκλειαν, καὶ ἀπῆρε τὸν βασιλέα καὶ ἦλθεν εἰς τὴν Πόλιν παρὰ γνώμης τοῦ Ἀποκαύχου. ὃ γνοὺς ἐκεῖνος λυπηθεὶς ἐσχόλασεν ἀπὸ τοῦ Διδυμοτείχου καὶ ἦλθεν εἰς τὸν πύργον αὐτοῦ. εἶτα ἦλθε καὶ εἰς τὴν Πόλιν.

---

40 2 Βέρρειαν *cod.* **42** 2 φωσάτον *cod.* 5 φωσάτα *cod.*

1345/6853 (Ind. 13) Juni 11—12

44 τὸ ἐρχόμενον δὲ ἔτος, ἰουνίῳ ιδ', ἰνδικτιῶνος ιγ', ἔκοψαν τὸ κεφάλιν τοῦ Ἀποκαύχου, τοῦ μεγάλου δουκός, οἱ φυλακισμένοι εἰς τὸ μέγα Παλάτιν. καὶ τῇ ἐπαύριον παρελαβώθησαν ὑπὸ τοῦ πλήθους τῆς Πόλεως, παροτρύναντος τούτους τοῦ Τζεφρέ, καὶ διέβασαν τούτους εἰς τὸ σπαθίν, πλὴν ὀλίγων.

1346/6854 (Ind. 14) Mai 19

45a μαΐῳ ιγ', ἰνδικτιῶνος ιδ', ὥρᾳ β' τῆς νυκτός, ἐχάλασεν ἡ Ἁγία Σοφία.

1345 Mai—Herbst/6853—6854 (Ind. 13—14)

45b ἐξελθὼν δὲ καὶ ὁ Καντακουζηνὸς τοῦ Διδυμοτείχου παρέλαβε τὰ κάστρη τῆς Μακεδονίας ὅλα. εἶτα ἦλθεν ἕως τῆς Πόλεως μετὰ Τούρκων καὶ μίαν καὶ δευτέραν. ἐποίησε δὲ φθορὰν πολλὴν εἰς τοὺς Χριστιανούς. ἔπειτα παρέλαβε τὴν Σηλυβρίαν καὶ ἦν ἐκεῖσε.

1347/6855 (Ind. 15) Febr. 2

46a φεβρουαρίῳ β', ἰνδικτιῶνος ιε', τοῦ ,ϛωνε' ἔτους, ἐγένετο σύνοδος ἐν τῷ παλατίῳ κατὰ τοῦ πατριάρχου Ἰωάννου καὶ ἐκάθηραν αὐτόν, παρούσης καὶ τῆς δεσποίνης κυρᾶς Ἄννης τῆς Παλαιολογίνης.

1347/6855 (Ind. 15) Febr. 3

46b καὶ τῇ ἐπαύριον ἐσέβην ὁ βασιλεὺς ὁ Καντακουζηνὸς εἰς τὴν Πόλιν ἀπὸ τὴν Χρυσέαν πόρταν, προδοτῶν ὄντων τοῦ Φακιολάτου καὶ τοῦ γένους αὐτοῦ.

1347/6855 (Ind. 15) Febr. 7 oder 8

47 καὶ τῇ ζ' τοῦ αὐτοῦ ἐποίησεν κατάστασιν καὶ ὁρκωμοτικὸν ἔμπροσθεν τῆς Θεοτόκου τῆς Ὁδηγητρίας καὶ τῶν Ἁγίων Παθῶν, καὶ ὅπως ἐπάρῃ τὸν βασιλέα κῦρ Ἰωάννην τὸν Παλαιολόγον γαμβρὸν εἰς τὴν θυγατέραν αὐτοῦ κυρὰν Ἑλένην. καὶ οὕτως εἰσῆλθεν εἰς τὸ παλάτιν.

45b 4 Συλυβρίαν *cod.* **46b** 2 προδότων *cod.*

1347/6855 (Ind. 15) Mai 17

48a μαΐῳ δὲ ⟨ιζ'⟩, τῆς αὐτῆς ἰνδικτιῶνος, προεβλήθη ὑπὸ τῶν βασιλέων τούτων ὁ ὑποψήφιος Μονεμβασίας, κῦρ Ἰσίδωρος, πατριάρχης. εἶτα ἐχειροτονήθη ἐν τῷ ⟨ναῷ⟩ τῆς Βλαχέρνας ὑπὸ τοῦ μητροπολίτου Κυζίκου.

1347/6855 (Ind. 15) Mai 21

48b τῷ αὐτῷ μηνὶ κα' ἐστέφθην ὁ βασιλεὺς ὁ Καντακουζηνὸς ὑπὸ τοῦ πατριάρχου κυροῦ Ἰσιδώρου ἐν τῷ ναῷ τῆς Βλαχέρνας.

1347/6855 (Ind. 15) Mai 24 (oder 28) (Donnerstag)

48c τῇ κδ' τοῦ αὐτοῦ, ἡμέρᾳ ε', εὐλογήθην ὁ βασιλεὺς κῦρ Ἰωάννης ὁ Παλαιολόγος τὴν δέσποιναν κυρὰν Ἑλένην ἐν τῷ αὐτῷ ναῷ.

1348/6856 (Ind. 1) Apr. 11

49 ἀπριλλίῳ ια', ἰνδικτιῶνος α', ἐγεννήθη τῷ βασιλεῖ κυρῷ Ἰωάννῃ υἱός, ὁ κῦρ Ἀνδρόνικος ὁ Παλαιολόγος.

1348 Aug. 16—Okt. 1/6856—6857 (Ind. 1—2)

50 αὐγούστῳ ις', ἰνδικτιῶνος α', ἔξω ὄντων τῶν βασιλέων, ἐποίησαν οἱ Γαλατιῶται μάχην μετὰ τῆς Πόλεως. καὶ ἦλθον καὶ ἔκαυσαν τὴν Βασιλικὴν πόρταν ὅλην. ἔκαυσαν δὲ καὶ εἰς τὴν Ἁγίαν Θεοδοσίαν δύο κάτεργα βασιλικά. ἔκαυσαν δὲ καὶ τὸ πέραν ὅλον, καὶ ἐποίησαν καὶ ἄλλην φθορὰν οὐκ ὀλίγην.

1348/6857 (Ind. 2) Okt. 1

51a ὀκτωβρίῳ α', ἰνδικτιῶνος β', ἦλθον οἱ βασιλεῖς ἐκ τοῦ Διδυμοτείχου καὶ εὗρον τὴν μάχην τοῦ Γαλατᾶ.

48a 4 Κυζίκου e Κυζύκου *cod.*

1349/6857 (Ind. 2) März 5—6

51 b ἐποίησαν δὲ στόλον μέγα, καὶ τῇ δ' τοῦ μαρτίου, τῆς αὐτῆς β' ἰνδικτιῶνος, ἐξῆλθεν ὁ ἡμέτερος στόλος ἐκ τοῦ Κοντοσκαλίου. ἐρχόμενοι δὲ ἔδωκαν ἔξω εἰς τὴν Ἑβραίαν καὶ ἀπεπνίγησαν ἐν τοῖς ὕδασιν, γενομένης τοιαύτης συμφορᾶς οἵας οὐ γέγονε πώποτε.

1350/6859 (Ind. 4) Sept.—Dez. 21 ca.

52 σεπτεβρίῳ ⟨. .⟩, ἰνδικτιῶνος γ', τοῦ ,ϛωνη' ἔτους, ἐξῆλθον οἱ δύο βασιλεῖς, ὅ τε βασιλεὺς ὁ Παλαιολόγος καὶ ὁ Κανακουζηνός, μετὰ στόλου πολλοῦ, καὶ ἀπῆλθον ἐν τῇ Θεσσαλονίκῃ. ἐξῆλθον δὲ ταύτης καὶ παρέλαβον τὴν Βέρροιαν καὶ ἄλλα κάστρη οὐκ ὀλίγα. εἶτα ἀπέστρεψεν ὁ βασιλεὺς ὁ Καντακουζηνὸς ἐν τῇ Πόλει μετὰ στόλου, καταλιπὼν ἐν τῇ Θεσσαλονίκῃ τὸν Παλαιολόγον αὐθέντην καὶ βασιλέα.

1350/6859 (Ind. 4) Sept.—Okt.

53 τῷ αὐτῷ δὲ μηνὶ ἦλθον ἐκ τῆς Βενετίας κάτεργα ιθ' κατὰ τοῦ Γαλατᾶ. οὐδὲν δὲ ἔβλαψαν αὐτὸν καὶ πάλιν ἀπέστρεψαν.

1351/6859 (Ind. 4) Apr. 19—Juli 28

54 εἶτα τὸν μαΐον μῆνα, τῆς ἰνδικτιῶνος δ', ἦλθον πάλιν ἐκ τῆς Βενετίας κάτεργα ιδ' κατὰ τοῦ Γαλατᾶ. ἔπεσε δὲ καὶ ὁ βασιλεὺς μετὰ τῶν Βενετίκων κατὰ τῶν Γενουιτῶν. ἐποίησαν δὲ καὶ ἕτερα κάτεργα βασιλικὰ ιδ' καὶ καράβια μετὰ πολεμιστῶν γ', καὶ ἐποίησαν πόλεμον μετὰ τοῦ Γαλατᾶ ἡμέραν α'. εἶτα ὡς ἔμαθον οἱ Βενέτικοι, ὅτι ἔρχεται στόλος Γενουίτικος, ἔφυγον ἀφέντες τὴν μάχην τοὺς Ῥωμαίους.

1351/6860 (Ind. 5) Okt.—Nov.

55 τὸν δὲ ὀκτώβριον μῆνα, τῆς ε' ἰνδικτιῶνος, τοῦ ,ϛωξ' ἔτους, ἦλθεν ὁ στόλος τῶν Γενουιτῶν, κάτεργα ξ'. ἐρχόμενοι δὲ παρέλαβον τὴν Ἡράκλειαν καὶ ἔφθειραν ταύτην. ὡς δὲ ἦλθον εἰς τὴν Πόλιν, ἀπῆγάν τινα κάτεργα καὶ παρέλαβον καὶ τὴν Σωζόπολιν καὶ ᾐχμαλώτισαν ταύτην. ἐποίησαν δὲ καὶ ἄλλην φθορὰν οὐκ ὀλίγην.

---

51 b 3 εὐραίαν *cod.* **52** 3 ἀπῆλθεν *cod.*: -ον *scripsi* 4 Βέρρειαν *cod.* 5 Κανκουζηνὸς *cod.* **54** 4 πολεμικῶν *cod.*: πολεμιστῶν *prop.* H. AHRWEILER, Byzance et la Mer. Paris 1966, 453 5 ἡμέρα α' *cod.*

1352/6860 (Ind. 5) Febr. 13

56 εἶτα, τὸν φεβρουάριον μῆνα, τῆς αὐτῆς ἰνδικτιῶνος, ἦλθε στόλος Βενέτικος καὶ Καταλάνικα κάτεργα ξ' καὶ ἡμέτερα ι', καὶ ἐγένετο πόλεμος εἰς τὸ Διπλοκιώνιν, καὶ ἔπεσον ⟨πολλοὶ⟩ ἐκ τῶν δύο μερῶν.

---

56 2 κατελάνικα *cod.* 3 Διπλοκιόνιν *cod.*

CHRONIK 9

HANDSCHRIFTEN

Bologna, Bibl. Univ., 3632, ff. 352ᵛ—353ᵛ (= 351ᵛ—352ᵛ alte Fol.). Der Codex ist, mit Ausnahme der ff. 1—7 und 274—278, von ein und derselben Hand geschrieben und enthält eine Fülle pseudomedizinischer und astrologischer Traktate[29]. Auf f. 352ᵛ geht der Chronik eine kleine Abhandlung über verschiedene Alphabete voraus; auf f. 354 beginnt ein Traktat über Pflanzen, der auch (allerdings ohne die bildlichen Darstellungen des Bononiensis) im Par. gr. 2419, f. 264—279 überliefert ist. Einige in der Bologneser Handschrift der Chronik vorausgehende Texte finden sich gleichermaßen im Vindob. phil. gr. 108, ff. 363—363ᵛ. Eine Herrscherliste auf ff. 376—377ᵛ (Assyr. Könige bis Basileios II.) stammt ebenfalls von der Hand des Kopisten der Chronik. Die Entstehungszeit der Handschrift fällt in die Mitte des 15. Jhs. Dies ergibt sich auf Grund zweier astronomischer Computi (f. 295 und 358ᵛ) für die Jahre 1448—1450 und 1441—1447. Auch die Wasserzeichen sprechen für eine Datierung in diesen Zeitraum[30]. Die Chronik ist von derselben Hand geschrieben wie der gesamte Codex (mit Ausnahme der oben bezeichneten Folien); doch ist die Tinte wesentlich dunkler als die der anderen Texte, so daß sie nicht gleichzeitig mit diesen kopiert, sondern später vom selben Kopisten auf frei gebliebenen Blättern eingetragen wurde. Die Notizen 50—52 sind auf dem

[29] Siehe dazu die spezielle Beschreibung in: *CCAG* IV (1903) 39—46. Vgl. auch A. DELATTE, Anecdota Atheniensia I. Textes grecs inédits relatifs à l'histoire des religions (*Bibliothèque de l'Université de Liège* 36). Paris 1927. — Eine Beschreibung der Handschrift gibt auch SP. LAMPROS, Τὸ μετὰ Σολομωνικῆς ἰατροσόφιον τῆς Βονωνίας. *NE* 15 (1921) 30—39.

[30] Berg, ähnlich BRIQUET 11719 (Jahre 1401—1419), Schere, ähnlich BRIQUET 3663 (Jahr 1445). — Die Bedenken, die E. ZACHARIADU in der Besprechung meiner „Studien" (*Hell* 21 [1968] 422—423) gegen die Datierung vorbringt, entfallen auf Grund der nun richtiggestellten Chronologie der Schlußnotiz (Not. 54).

unbeschrieben gebliebenen Teil von f. 352ᵛ (also vor Not. 1) kopiert, jedoch ohne Unterschiede in Duktus und Tinte gegenüber den anderen Teilen der Chronik. Die Notizen 53—54 sind im Schriftcharakter mit der Chronik identisch, aber von wesentlich hellerer Tinte und in jedem Fall später nachgetragen.

Verschollene Handschrift aus Konstantinopel. Die gesamte Chronik oder wenigstens Auszüge daraus waren in einer weiteren, heute verlorenen Handschrift überliefert, die Patriarch Dositheos von Jerusalem verwendete[31]. Er berichtet, daß er 1680 in Konstantinopel in den Besitz einer Handschrift gekommen sei, als neben Reliquien und anderen heiligen Gegenständen auch Codices aus der „Bibliothek der Rhomäischen Kaiser" (Serail-Bibliothek) entfernt wurden[32]. Dositheos, der die Chronik (mit erheblichen Unterschieden gegenüber dem Text im Bononiensis) edierte, erwähnt nicht, welche anderen Texte die Handschrift noch enthielt[33].

[31] DOSITHEUS PATRIARCHA, Ἱστορία περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων, lib. 9, cap. 11 § 7. Bukarest 1715, 870—871. Der Text des Dositheos ist abgedruckt im Appendix des 2. Bandes dieser Ausgabe. Einige Notizen (über den Tod Johannes' VII. und die Verleumdung gegen Patriarch Matthaios) übertrug aus dem gedruckten Text bei Dositheos ein unbekannter Kopist in den cod. Athous, Panteleemonos 17, f. 55.

[32] E. JACOBS, Untersuchungen zur Geschichte der Bibliothek im Serail zu Konstantinopel I. *Sitzungsber. Heidelb. Akad. Wiss.*, phil.-hist. Kl., Heft 24 (1919) 120—133, vermutet, daß das Jahr 1680 nur als ungefähres Datum zu nehmen sei und in Wirklichkeit ein Vorfall dahinterstehe, der sich erst 1687 ereignete. Damals kam ein italienischer Renegat in den Besitz von 200 Handschriften, von denen er 15 an den französischen Gesandten Pierre Girandin verkaufte — sie befinden sich heute in der Bibliothèque Nationale — und die restlichen 185 anderweitig in Konstantinopel auf den Markt brachte. Eine dieser Handschriften könnte die von Dositheos erworbene gewesen sein. Doch entstammen diese Handschriften in Wirklichkeit nicht der Serail-Bibliothek, wie der Italiener den französischen Gesandten und wohl auch Dositheos glauben machte, sondern der Privatbibliothek des Sultans Mustafa I. (1617/18). — Gegen diese Hypothese ist einzuwenden, daß der Ausdruck ἐξέβαλον bei Dositheos doch eher zu einer anderen Interpretation zwingt. Vielleicht handelt es sich um eine sonst unbekannte Gewaltmaßnahme Sultan Mehmeds IV., christliche Werke aus der Serail-Bibliothek zu entfernen.

[33] Die von Dositheos erworbene Handschrift ist heute verschollen. Jedenfalls geben die Handschriftenkataloge des Patriarchats von Jerusalem keinen Hinweis auf einen Codex, der diesen Text enthielte.

Überlieferung

Es ist zunächst zu klären, in welchem Verhältnis die Kleinchronik zum Text bei Dositheos (D) steht. Bei vier Notizen zeigt sich eine Abhängigkeit von D zur Chronik: Not. 12: das sprachlich zwar mögliche, aber auffallende ἐκ τοῦ Φακεωλάτου; die Korruptel in Not. 16; die falsche Chronologie in Notiz 17[34]; Not. 49: durch einen Kopistenfehler ist in D die Datumszeile fast völlig ausgefallen, jedoch weist das τοῦ θεολόγου auf eine Abhängigkeit von der Chronik hin. Etwas umfangreicher sind die Stellen, die gegen eine Abhängigkeit zu sprechen scheinen. Not. 1: σεπτεβρίῳ κδ'—δεκεμβρίῳ κδ' (D); Not. 6: ἔτους ,ςωλς'—τῷ ,ςωλη' (D); Not. 14: ἔτει ,ςωξγ'—,ςωξδ' (D); Not. 24: Ἰσμαὴλ Τζαλαπῆ—Μουσταφᾶ (D); Not. 32: Eindringen des Andronikos in Konstantinopel—Gefangennahme Johannes' V. (D); Not. 47: in D mit Not. 41 verbunden; Not. 49: D hat gegenüber der Kurzchronik Zusätze (s. u.); schließlich begegnet die erste Notiz von D in der Kurzchronik überhaupt nicht. Es gilt, die angeführten wesentlichen Abweichungen zu erklären. Soweit Zahlen in D gegenüber der Kurzchronik abweichen, ist der Chronologie der letzteren der Vorzug zu geben. Auch die inhaltlichen Besonderheiten in D bringen nur Verschlechterungen oder Kürzungen. Die Zusätze in Not. 49 stützen sich auf den Text bei Kananos[35]. Einer sinnvollen Erklärungsmöglichkeit entzieht sich die erste Notiz in D über eine Belagerung Konstantinopels 6800/1292[36]. Dositheos benützte also eine Fassung unserer Chronik in den Teilen I—III, die gekürzt und fehlerhaft war. Es scheint, daß er in einzelnen Fällen selbst in die stilistische Gestaltung des Textes eingriff, am stärksten in Notiz 49. D kann für die Textfassung der Kurzchronik unberücksichtigt bleiben.

Die Chronik weist vier verschiedene Teile und einen späteren Zusatz (Teil V) auf. In Teil I stehen die Notizen fast ausnahmslos in

[34] Die Verbesserung des Patriarchennamens (Theophilos — Philotheos) spricht nicht gegen die Übereinstimmung, da sie m. E. auf eine gelehrte Redaktion zurückzuführen ist.

[35] Johannes Kananos 459, 5—6: τὰ δὲ βρέφη εἰς περιτομὴν τῷ Μωάμεθ προσέφερεν; 460, 9: πάμπολλα ἄγων μηχανικώτατα καὶ μαχιμώτατα ἔργα; 460, 18: ἀπὸ τὸ ἓν ἄκρον τῆς πόλεως τῆς Χρυσίας ἕως τὸ ἕτερον ἄκρον τῆς Ξυλοπόρτης ἐκράτει.

[36] Entgegen meiner Hypothese in den „Studien" möchte ich die Notiz nicht mehr auf die Belagerung 6930/1422 beziehen.

chronologischer Reihenfolge und verdichten sich besonders für die Jahre 1373—1376/77; dieser Teil bricht unvermittelt 1376/77 ab, so daß an eine bis zu diesem Jahr reichende Vorlage zu denken ist. Teil II umfaßt den Zeitraum 1386—1410; die Notizen stehen in unregelmäßiger chronologischer Abfolge und gruppieren sich besonders um die Jahre 1409—1410. Teil III enthält Notizen aus den Jahren 1357 bis 1422. Hier eine neue Quelle zu vermuten, legen drei Gründe nahe: a) die Notizen 42—44 erwähnen Ereignisse, die sich außerhalb der Hauptstadt abspielten, während sich die Notizen der vorausgehenden Teile allein auf Konstantinopel beschränken; b) in diesem Abschnitt begegnet erstmals die Datierung nach Indiktionen; c) die erste Notiz dieses Teiles (1357) stellt gegenüber der letzten des vorausgehenden Teiles (1409) einen erheblichen zeitlichen Sprung dar, der den Neuansatz rechtfertigt. Teil IV, der allein das Jahr 1448 umfaßt und dessen Notiz 50 auch volkssprachliche Elemente umfaßt, ist möglicherweise ein Augenzeugenbericht des Kopisten.

Chronologie

Hinsichtlich der Vorlagen läßt sich nur Teil I auf ca. 1377 festlegen. Da manches dafür spricht, daß Verfasser des IV. Teiles der Kopist selbst ist, dürfte auch die Gesamtchronik in der vorliegenden Form 1448 niedergeschrieben worden sein, in jedem Fall aber vor der Eroberung Konstantinopels (Notiz 54).

Ausgaben

L.-A. Nr. 47 (S. 80—82; ohne Teil IV). — Schreiner, Studien 206 (nur Teil IV).

Χρονικὸν μερικόν

I

1315/6824 (Ind. 14) Sept. 29

1 ἔτει ,ςωκδ', σεπτεβρίῳ κθ', γέγονεν ὁ σεισμὸς ὁ μέγας.

1 ἔτι *cod. hic et infra in omn. not.*

1320/6829 (Ind. 4) Okt. 12, Sonntag

2 ἔτει ,ϛωκθʹ, ὀκτωβρίῳ ιβʹ, ἡμέρᾳ κυριακῇ, ἀπέθανεν Μιχαὴλ βασιλεὺς ὁ Παλαιολόγος, ὁ υἱὸς Ἀνδρονίκου.

1321/6829 (Ind. 4) Apr. 20

3 τῷ αὐτῷ ἔτει, ἀπριλλίῳ κʹ, ἐξῆλθεν Ἀνδρόνικος βασιλεὺς φυγὰς τοῦ ἰδίου πάππου.

1321/6830 (Ind. 5) Dez. 24

4 ἔτει ,ϛωλʹ, δεκεβρίῳ κδʹ, ἦλθεν ὁ αὐτὸς εἰς τὴν Μπόλιν συμμαχήσας μετὰ στρατοῦ πολλοῦ.

1322/6830 (Ind. 5) Juli 17

5 τῷ αὐτῷ ἔτει, ἰουλλίῳ ιζʹ, ἐποίησαν οἱ βασιλεῖς ἀγάπην.

1328/6836 (Ind. 11) Mai 24, Dienstag

6 ἔτους ,ϛωλϛʹ, μαΐῳ ⟨κ⟩δʹ, ἡμέρᾳ γʹ, παρέλαβεν Ἀνδρόνικος βασιλεὺς τὴν Μπόλιν.

1333/6841 (Ind. 1) Mai 14

7 ἔτους ,ϛωμαʹ, μαΐῳ ιδʹ, γέγονεν ἡ ἔκλειψις τοῦ ἡλίου.

1341/6849 (Ind. 9) Juni 14

8 ἔτους ,ϛωμθʹ, ἰουνίῳ ιζʹ, ἐκοιμήθη Ἀνδρόνικος βασιλεὺς ὁ Παλαιολόγος.

1341/6850 (Ind. 10) Nov. 19, Montag

9 ἔτους ,ϛωνʹ, νοεμβρίῳ ιθʹ, ἡμέρᾳ βʹ, ἐστέφθην βασιλεὺς ⟨ὁ υἱὸς αὐτοῦ Ἰωάννης⟩. ἐγενήθη δὲ ,ϛωμʹ, ἰουνίῳ ιζʹ.

---

9 2 νοεβ(ρίῳ) ἰουν(ίῳ) ιζʹ *cod.*

1343/6852 (Ind. 12) Okt. 18

10 ἔτει ,ϛωνβʹ, ὀκτωβρίῳ ⟨ιηʹ⟩, γέγονε σεισμὸς μέγας, ὅτε ὑψώθη καὶ ἡ θάλασσα ἕως Σταυροῦ.

1345/6853 (Ind. 13) Juni 11—12

11 ἔτει ,ϛωνγʹ, ἰουλλίῳ ιαʹ, ἐφονεύθη ὁ μέγας δούξ. τῇ ἐπαύριον ἐφονεύθησαν ἄρχοντες ρπʹ.

1347/6855 (Ind. 15) Febr. 3, Samstag

12 ἔτει ,ϛωνδʹ, φεβρουαρίῳ γʹ, ἡμέρᾳ σαββάτῳ, εἰσῆλθε βασιλεὺς Κατακουζηνὸς Ἰωάννης εἰς τὴν Μπόλιν ἐκ τῆς Χρυσέας πόρτας, ἐκ τοῦ Φακεολάτου.

1346/6854 (Ind. 14) Mai 19, Freitag

13 τῷ αὐτῷ ἔτει, μαΐῳ ιθʹ, ἡμέρᾳ ϛʹ, ὥρᾳ ηʹ, ἐχάλασε ἡ Ἁγία Σοφία, ὁ μέγας ναός, τὸ ἅγιον βῆμαν, ὥραν ηʹ τῆς νυκτός.

1354/6863 (Ind. 8) Nov. 22

14 ἔτει ,ϛωξγʹ, ἰανουαρίῳ καʹ, εἰσῆλθε βασιλεὺς Ἰωάννης Παλαιολόγος ἐκ τοῦ Κοντοσκαλίου εἰς τὴν Μπόλιν.

1355/6864 (Ind. 9) Nov. 2 (?)

15 ἔτει ,ϛωξδʹ, νοεβρίῳ βʹ, ἐφονεύθην ὁ μέγας δομέστικος Τραχανιώτης.

1363/6871 (Ind. 1) Juli 20

16 ἔτει ,ϛωοαʹ, ἰουλλίῳ κʹ, ἐξῆλθε Κάλλιστος πατριάρχης †τριβόλη τρίβους Σέρβους† καὶ ἀπέθανεν.

---

13 2 ὥραν ηʹ τῆς ἡμέρας *cod., sed* ἡμέρας *ab ead. m. del., et add. in marg.:* ὄχυ μάλον ἀλα τῆς νυκτός

1364/6873 (Ind. 3) Okt. 8

17 ἔτει ,ϛωοβ', ὀκτωβρίῳ ια', ἀνέβην πάλιν Θεόφιλος πατριάρχης.

1365/6874 (Ind. 4) Nov.—Dez. ca.

18 ἔτει ,ϛωοδ' ἐξῆλθε βασιλεὺς Ἰωάννης πρὸς Οὐγκρίαν.

1366/6875 (Ind. 5) Sept. 2 (oder 4)

19 ἔτει ,ϛωοε', σεπτεβρίῳ β', ἔφθασεν εἰς τὴν Μπόλιν ὁ κόντος Σαβόγιας.

1366/6875 (Ind. 5) Okt.

20 τῷ δὲ αὐτῷ καιρῷ, ὀκτωβρίῳ ια', ἐξῆλθεν εἰς πόλιν Μεσημβρίαν.

1367 Frühjahr—Okt./6875—6876 (Ind. 5—6)

21 χειμάσας ἐστράφη δὲ στὴν Πόλιν κατὰ τὴν μεγάλην ἑβδομάδαν μετὰ τῶν βασιλέων, *** ἐλθὼν ⟨ὀκτωβρίῳ θ'⟩, ἡμέρᾳ ϛ', μετὰ πρέσβεων ἡμῶν πρὸς τὸν πάπαν.

1368/6877 (Ind. 7) Sept. 24, Sonntag

22 ἔτει ,ϛωοζ', σεπτεβρίῳ κ⟨δ'⟩, ἡμέρᾳ κυριακῇ *** εἰς τὸ Ἱπποδρόμιον καὶ ἀνεγνώστησαν ἐπιστολαὶ τοῦ πάπα.

1371/6880 (Ind. 10) Okt. 28—Dez. 5

23 ἔτει ,ϛωπ', ὀκτωβρίῳ κη', ἔφθασεν στὴ Πόλη βασιλεὺς Ἰωάννης, καὶ δεκεβρίῳ ε' ἐκράτησαν τοὺς ἄρχοντας Γλαβᾶν, Ἰωάννην Ἀσάνην, Μανουὴλ Βρυένη, τὸν πανυπερσέβαστον τὸν Τζαμπλάκον καὶ τὸν Ἀγάλον.

---

19 κώντ(ος) *cod.* (*cf. commentarium*) **20** Μεσεμβρίαν *cod.* **21** 2 ὀκτωβρίῳ θ' *supplevi* πρέσβεον ημεν *cod.*

1373/6881 (Ind. 11) Mai 6, Freitag

24 ἔτει ,ϛωπα', μαΐῳ ϛ', ἡμέρᾳ ϛ', ἐξῆλθεν Ἀνδρόνικος βασιλεὺς φυγὰς τοῦ ἰδίου πατρὸς καὶ ἡνώθη μετὰ τοῦ Ἰσμαὴλ Τζαλαπῆ, υἱοῦ Μουράτ, φυγάδι καὶ αὐτῷ ὄντι τοῦ ἰδίου πατρὸς πρὸ μηνῶν ⟨. .⟩ καὶ ἡμερῶν ι'. ὅθεν ὁ βασιλεὺς Ἰωάννης ὀργιστεὶς ἡνώθη τῷ Μουράτ, καὶ περάσας αὐτὸν ἐξ Ἀνατολῆς πρὸς Δύσι διὰ τῆς Πόλεως μετὰ τοῦ πολλοῦ στρατοῦ ***

1373/6881 (Ind. 11) Mai 25, Mittwoch

25 τῷ αὐτῷ γοῦν μαΐῳ κε', ἡμέρᾳ δ', τῆς ἁγίας πέμπτης τῆς Ἀναλήψεως, ἐγένετο πόλεμος, καὶ ἐπολέμησεν Ἀνδρόνικος βασιλεὺς ἐνδόξως ἄγαν. συμμαχήσαντες δὲ αὐτὸν καὶ οἱ τοῦ Τζαλαπῆ ἐτράπησαν θαυμασίως. πεπτώκασι δὲ Τοῦρκοι φ', οἱ πλείονες διὰ χειρὸς αὐτοῦ. Ῥωμαῖοι δὲ πεπτώκασι ⟨. .⟩ καὶ συνελήφθησαν ζῶντες χίλιοι ψ'.

1373/6881 (Ind. 11) Mai 30

26 τῷ αὐτῷ μηνὶ μαΐῳ λ' προσεκύνησεν Ἀνδρόνικος ὁ βασιλεὺς περὶ ὥραν ια' τῆς νυκτὸς εἰς φρούριον Ἄνθυρος τὸν ἴδιον πατέρα παυσάμενος τοῦ πολεμεῖν. εἰσῆξεν δὲ αὐτὸν ἐν φυλακῇ μετὰ τῆς γυναικὸς αὐτοῦ Μαρίας.

Unbekanntes Datum

27 ἔτει †δὲ ιε'† αὐγούστῳ ⟨. .⟩ αἱ δύο θυγατέρες τοῦ βασιλέως ἐνεδύσαντο μέλαινα ἱμάτια.

1373/6882 (Ind. 11) Sept. 12

28 ἔτει ,ϛωπβ', σεπτεβρίῳ ιβ', ἐξώρισεν τὸν υἱὸν αὐτοῦ εἰς νῆσον Λῆμνον.

---

24 5 δύση *cod.* **25** 4 ἡ πλίον(ες) *cod.* (*cf. commentarium*) 5 ζῶνες *cod.* **26** 3 τοῦ πολεμῆ *cod.*

1373/6882 (Ind. 12) Sept. 25

29 τῷ αὐτῷ μηνὶ κε' πρόβλησεν βασιλέαν τὸν Μανουὴλ ἐν τῷ παλατίῳ τῶν Ἀετῶν.

1373/6882 (Ind. 12) Sept. 29

30 σεπτεβρίῳ κθ' παρέλαβεν Μουράτης τὸν υἱὸν αὐτοῦ Σαουτζίμπεη ἐν τῇ πόλει Διμοτείχῳ καὶ ἐτύφλωσεν αὐτόν. τοὺς δὲ σὺν αὐτὸν σχεδὸν πάντας ἀπέκτεινεν.

1376/6884 (Ind. 14) Anf. Juli ca.

31 ἔτει ,ςωπδ' ἔφυγεν ἐκ φυλακῆς μονῆς τοῦ Καυλέως Ἀνδρόνικος βλέπων μετὰ τῆς συζύγου καὶ τοῦ υἱοῦ αὐτοῦ ἐκ τῆς Πόλεως εἰς τὸν Γαλατᾶν.

1376/6884 (Ind. 14) Aug. 12—14

32 τῷ αὐτῷ ἔτει, αὐγούστῳ ιβ', ἡμέρᾳ γ', εἰσῆλθε διὰ τῆς Ξυλοκέρκου πύλης καὶ ἐγένετο πόλεμος ἡμέρας τρεῖς ἐν τῇ Πόλει, Ῥωμαῖοι μετὰ Γενουβιτῶν, καὶ ἔπεσαν Γενουβῖται ρξ'.

1376 Sept.—1377 Aug./6885 (Ind. 15)

33 ἔτει ,ςωπε' ἔπαυσαν τὸ μνημόσυνον Φιλοθέου τοῦ πατριάρχου.

1377/6885 (Ind. 15) Frühjahr (?)

34 τῇ δὲ γ' ταὐτοῦ μηνὸς ἐξῆλθε Ἀνδρόνικος εἰς Ἀνατολὴν ἀρήγων τῷ Μουρὰτ †φιλίαν Ἰσμαήλ†.

1377/6885 (Ind. 15) Frühjahr (?)

35 τῇ ια' τοῦ αὐτοῦ μηνὸς ἀπέθανεν ἡ ἀδελφὴ αὐτοῦ τοῦ βασιλέως, Μαρία.

---

30 1 Σαουτζήμπεοι *cod.* 2 Διμοτήχ(ω) *cod.* **32** 1 τοῦ Ξυλοκέρτου *cod.*

II

1386/6894 (Ind. 9) Jan. 1, Montag

36 ἔτει ,ςωϟδ', ἰνδικτιῶνος θ', ἡμέρᾳ β', ὥρᾳ ε', ἰανουαρίῳ α', τοῦ Ἁγίου Βασιλείου, ἐγένετο μεγάλη ἔκλειψις τοῦ ἡλίου ὁλοζόφωτος.

330/5838 (Ind. 3) Mai 11

37 ἔτει ,εωλη' ἐκτίστη ἡ μεγάλη πόλις Κωνσταντινουπόλεως.

320/5829 (Ind. 9) Sept. 14

38 εὑρέθην ὁ σταυρὸς κεκρυμμένος ἀπὸ τῆς Χριστοῦ ἀναλήψεως ⟨ἔτει σπε', ἀπὸ δὲ τῆς γεννήσεως αὐτοῦ⟩ ἔτει τιη'.

1410/6918 (Ind. 3) Juni 15

39 ἔτει ,ςϡιη' ἦλθεν ὁ Μουσῆς ἀπὸ τοὺς Τατάρους καὶ ἐδουλώθη τῷ βασιλεῖ κυρῷ Μανουὴλ μῆνας ε'.
εἶτα ἀποσκιλτήσας διαπερᾷ ὁ ἀδελφὸς σουλτὰν Τζαλαπῆς ἀπὲ τὸ Σκούταρι κελεύσει βασιλικῇ καὶ ἐποίησαν πόλεμον ἐγγὺς τῆς Πόλης τῶν πυλῶν καὶ ἡττᾶται Μωσῆς κατὰ κράτος καὶ φυγὰς γίνεται εἰς Οὐγκρίαν.

1410/6918 (Ind. 3) Juni 15—Aug. (?)

40 τῷ αὐτῷ ἔτει ἐπαρέλαβεν τὴν Βιζύην αὐτὴν καὶ τὰ περιέχοντα ὅρια αὐτῆς ὁ βασιλεύς.

1409 Sept.—1410 Aug./6818 (Ind. 3)

41 τῷ αὐτῷ ἔτει ἔγινεν θανατικὸν μέγα τελευτήσαντες ὅ τε πατριάρχης κῦρ Ματθαῖος καὶ κῦρ Θεόδωρος Κατακουζηνὸς καὶ λαὸς χιλιάδες ι'.

---

36 ἰνδικτιῶνος θ' *add. ead. m. in marg.* **37** ἄρχων ἄλων ἔτος *add. ead. m. in marg.* **38** *de suppl. inter* ⟨ ⟩ *vide commentarium* **39** 4 Σκουτάρι (?) *cod.* κελεύση βασιλικῶ *cod.* 5 Μοσῆς *cod.* **40** 1 Βυζύνην *cod.* τὰ περιέχο ὅρια *cod.*

III

1357 Sept.—1358 Aug./6866 (Ind. 11)

42 ἔτει ,ςωξς', ἰνδικτιῶνος ια', ἐγένετο ἡ ἐξοίκησις τῆς Βιζύης.

1351/6860 (Ind. 5) Okt. 23

43 ἔτει ,ςωνς' ἀπῆραν οἱ Λατῖνοι τὴν Ἡράκλειαν.

1379 Sept.—1380 Aug./6888 (Ind. 3)

44 ἔτει ,ςωπη' ἐγένετο κύριον Πάσχα. ἐκρουσεύθη καὶ ἡ Μεσημβρία.

1261/6769 (Ind. 4) Juli 25

45 ἔτει ,ςψξθ' παρέλαβον ἀπὸ τοὺς Φράγκους οἱ Ῥωμαῖοι τὴν Μπόλιν ἐπὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Παλαιολόγου.

1408/6917 (Ind. 2) Sept. 22

46 ἔτει ,ςϡιζ', ἰνδικτιῶνος β', σεπτεβρίῳ ι', ἐκοιμήθη βασιλεὺς Ἰωάννης εἰς τὴν Θεσσαλονίκην, κυροῦ Ἀνδρονίκου υἱός, σχηματιστεὶς Ἰωάσαφ.

1403/6911 (Ind. 11) nach Juni 14

47 τῷ αὐτῷ ἔτει ἐκατηγορήθη πατριάρχης κῦρ Ματθαῖος, ἐντὸς τῆς Ἁγίας Σοφίας λειτουργοῦντος ⟨αὐτοῦ⟩, παρὰ μοναχοῦ Ἰωακεὶμ ὁρμωμένου ἐκ τῆς Μονοβασίας.

1421/6929 (Ind. 14) Jan. 19

48 ἔτει ,ςϡκθ', ἰνδικτιῶνος ιδ', ἐστέφθην ὁ βασιλεὺς κῦρ Ἰωάννης μετὰ τῆς Φράγκας κυρᾶς Σοφίας.

---

42 Βυζύης *cod.* **43** Ὑράκλιαν *cod.* **44** Μεσέμβρια *cod.* **48** βασιλεὺ (?) *cod.*

1422/6930 (Ind. 15) Aug. 24

49 ἔτει ,ςϡλα', ἰνδικτιῶνος ιε', ⟨αὐγούστῳ κδ'⟩, ἡμέρᾳ ⟨β'⟩, ἐν ἡμέρᾳ τοῦ ἁγίου Εὐτυχοῦς, μαθητοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, ἐκαστροπολέμησεν ὁ ἄθεος Μουράτης τὴν Μεγαλόπολι. καὶ ἐνίκησαν οἱ Ῥωμαῖοι καὶ ἐσκοτώθησαν οἱ Τοῦρκοι, χιλιάδες πολλές.

*

γίνωσκε ὅτι μετὰ τὸ ἀναληφθῆναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἔγραψεν ὁ ἀπόστολος Ματθαῖος τὸ εὐαγγέλιον μετὰ η' χρόνους, τὸ δὲ κατὰ Μάρκον μετὰ ι' χρόνους, τὸ δὲ κατὰ Λουκᾶ μετὰ ιε' χρόνους, τὸ δὲ κατὰ Ἰωάννην μετὰ λε' χρόνους.

IV

1448/6956 (Ind. 11) Juni

50 ἐν τῷ ,ςϡνς', ἰνδικτιῶνος ια', μηνὶ ἰουνίῳ, ἡμέρᾳ ⟨.⟩ ⟨τῆς⟩ τῶν ἁγίων ἀποστόλων νηστείας, ἦλθαν οἱ Μουρσουμάνοι μὲ πλοῖα ξε' καὶ ἐπέκεινα ἁρμάδα μὲ ἁρμάτων πολλῶν καὶ δύναμιν καὶ κατασκευὰς εἰς τὴν Κωνσταντινούπολιν, καὶ εὗραν ἀστοχίαν πᾶσαν καὶ ἐντροπὴν καὶ τὸν Βλάγκα κτισμένον καὶ πολλὰ ἁρματωμένον, ἔτι καὶ τὸ κάστρον, καὶ θαλάσσης καὶ στερεᾶς τὰς δυνάμεις καὶ ἅλυσες ἐν τῇ θαλάσσῃ. εἶτα ὡς εἶδαν, ὅτι ἐστόχησαν μὲ ἐντροπή, ἐπῆγαν εἰς τὸ Κελλὶ καὶ ἀφανίσθησαν τελείως καὶ ἐγύρευσαν καταλυμένοι.

1448/6956 (Ind. 11) Juni (24?)

51 τῷ αὐτῷ ἔτει, μηνὶ ⟨ἰουνίῳ⟩ ἀπέθανεν ὁ δεσπότης κῦρ Θεόδωρος ὁ Παλαιολόγος, ἀδελφὸς Ἰωάννου βασιλέως. καὶ εὑρέθησαν ἄπιστοι οὐκ ὀλίγοι κρυφαίως, τὸ δὲ φανερῶς Θεόφιλος ὁ Παλαιολόγος, Βρυέννιος ὁ Λεόνταρης Παλαιόλογος, Σέγκρουλα, Στρατηγόπουλος ὁ Σχαντζιλέρης, ὁ κριτής, ὁ γραμματεύς, καὶ ἄλλοι πολλοί. ἐτάφη γοῦν εἰς τὸν Παντοκράτορα.

---

50 1 ἐν τὸ (?) *cod., sed vix legi potest* μηνὶ ἰουνίῳ *et* τ(ὸν) αγι(ων) αποστολ(ον) νηστ(ειας) *suprascr. post* ἡμέρα *fenestra* 2 ξε' *ab ead. m.* (*postea?*) *in marg. add.* 5 τὸ Βλαγκ *cod.* 7 Κελεὶ *cod.* **51** 1 *post* μηνὶ *fenestra*

1448/6956 (Ind. 11) Juli—Aug.

52 τῷ αὐτῷ ἔτει, μηνὶ *** ἦλθεν ὁ δεσπότης ὁ κῦρ Δημήτριος ὁ Παλαιολόγος, τοῦ βασιλέως ὁ ἀδελφός.

V

1452/6960 (Ind. 15) März 23

53 ἔτει ,ϛϡξ΄, μαρτίῳ κγ΄, ἦλθε ὁ ἄθεος Μουράτη υἱὸς μὲ φουσάτον πολὺν καὶ ἔκτισεν τὸ Ἱερὸν τὸ δυτικόν.

1453/6961 (Ind. 1) Apr. 4—Mai 29

54 ἔτει ,ϛϡξα΄, μαρτίῳ γ΄, ἦλθε ὁ αὐτὸς μετὰ στρατοπέδου πολλοῦ καὶ πλοίων καὶ ἐπαράπεσεν τὴν Πόλιν στερεᾶς καὶ θαλάσσης, καὶ εἰς τὰς κγ΄ (!) τοῦ μαΐου μηνός, ἐν ἡμέρᾳ τῆς ἁγίας Θεοδοσίας, ἐπαράλαβεν αὐτήν.

---

52 1 *post* μηνὶ *fenestra scripsi ut* LAMPROS, Sylloge 54 2 καὶ[2] — αὐτήν *hodie humiditate del.*, Nr. 127 (S. 160) *qui not. conspicere potuit*

CHRONIK 10

HANDSCHRIFT

**Lesbos*, Μονὴ τοῦ Λειμῶνος, 295, pp. 108, 140, 141, 162, 190, 191, 312. Die Pergamenthandschrift ist in das 12. Jh. zu datieren und enthält die Akoimeten-Liturgie[37]. Sie ist mit griechischen Zahlen foliiert und mit arabischen paginiert. Der Codex kam erst 1883 in das Leimonos-Kloster. Einer mündlichen Tradition zufolge soll die Handschrift im Akoimeten-Kloster in Konstantinopel entstanden sein. Wie die Chroniknotizen zeigen, muß die Handschrift noch Ende des 14. Jhs. in Konstantinopel oder im Umkreis der Stadt aufbewahrt gewesen sein. Über ihr weiteres Schicksal, ehe sie im vergangenen Jahrhundert nach Lesbos kam, ist nichts bekannt[38]. — Die historischen Notizen stehen auf den Rändern der Handschrift. Es lassen sich zwei Hände feststellen: a) Notiz 1—4, b) Notiz 4—11. Innerhalb der beiden Gruppen sind Tintenunterschiede kaum zu erkennen[39].

---

[37] Die Handschrift ist im Katalog von PAPADOPULOS-KERAMEUS noch nicht aufgeführt, sondern erst im Supplementkatalog des Metropoliten DIONYSIOS CHARALAMPOS von Lemnos (s. u. Ausgaben). Zur Akoimetenliturgie aus dieser Handschrift siehe J. M. PHUNTULES, Ἡ εἰκοσιτετράωρος ἀκοίμητος δοξολογία. Athen 1963. Ich danke an dieser Stelle Prof. Phuntules für die Bereitwilligkeit, mit der er mir Photos der Handschrift zum Studium der chronologischen Notizen überließ. Die Datierung auf das 12. Jh. schlägt PHUNTULES mit Recht vor, während sie GEDEON im 13., DIONYSIOS sogar im 14. Jh. ansetzt.

[38] Einen weiteren Text der Akoimetenliturgie enthält Par. gr. 331, doch finden sich in dieser Handschrift keinerlei historische Notizen.

[39] Not. 1—3: p. 312; Not. 4: p. 108; Not. 5: p. 141; Not. 6: p. 162; Not. 7: p. 191; Not. 8: p. 140; Not. 9—10: p. 190; Not. 11: p. 141. Auf p. 320 finden sich weitere historische Notizen, darunter wörtlich unsere Notizen 1—2 (jedoch von anderer Hand); die übrigen sind auf dem Photo nicht mehr lesbar. Notizen, die sich auf das (unbekannte) Kloster beziehen, in dem sich einst die Handschrift befand, ediert GEDEON in der unten genannten Ausgabe S. 381. — Notiz 9 spricht vom πατὴρ ἡμῶν Βλάσιος. Sollte sich die Handschrift einst im Blasios-Kloster (R. JANIN, La géographie ecclésiastique de l'empire byzantin I/3 [Églises et Monastères]. Paris [2]1969, 64) befunden haben?

Überlieferung

Die paläographischen Feststellungen rechtfertigen die Einteilung in die beiden Gruppen. Auch in der stilistischen Gestaltung unterscheiden sich I und II erheblich. Die Notizen sind, wie das Fehlen der Tintenunterschiede zeigt, nicht zum Zeitpunkt des jeweiligen Geschehnisses entstanden, sondern nach einer Vorlage später eingetragen. Nur so erklären sich auch die erheblichen chronologischen Fehler in den Not. 1. 9. 10.

Ausgaben

